col 11 (7) 11 δυσπαίπαλα κύματα· νωμᾶ-
ται δ᾽ ἐν ἀτ¦ρύτωι χάει
13 λεπτότ¦ριχα σὺν ζεφύρου πνοι-
αῖσιν ἔθειραν ἀρίγ¦νω-
__τος μετ᾽ ἀνθρώποις ἰδεῖν·
1 τὼς νῦν καὶ ⟨ἐ⟩μοὶ μυρία πάνται κέλευθος
ὑμετέραν ἀρετάν
3 ὑμνεῖν, κυανοπ¦λοκάμου θ᾽ ἕκατι Νίκας
χαλκεοστέρνου τ᾽ Ἄρηος,
5 Δεινομένευς ἀγέρωχοι
παῖδες· εὖ ἔρδων δὲ μὴ κάμοι θεός.
7 ξανθότ¦ριχα μὲν Φερένικον
Ἀλφεὸν παρ᾽ εὐρυδίναν
9 πῶλον ἀελλοδρόμαν
)__εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς,
Β′ 1 Πυθῶνί τ᾽ ἐν ἀγαθέαι·
γᾶι δ᾽ ἐπισκήπτων πιφαύσκω·
3 οὔπω νιν ὑπὸ π¦ροτέ[ρω]ν
ἵππων ἐν ἀγῶνι κατέχ¦ρανεν κόνις
5 πρὸς τέλος ὀρνύμενον·
ῥιπᾶι γὰρ ἴσος βορέα
7 ὃν κυβερνήταν φυλάσσων
ἵεται νεόκ¦ροτον
9 νίκαν Ἱέρωνι φιλοξείνωι τιτύσκων.